08-07 ΑΚΟΛΟΥΘΙΑ ΟΡΘΡΟΥ

Μνήμη τοῦ Ἁγίου καὶ ἐνδόξου Μεγαλομάρτυρος Προκοπίου.

Μετὰ τὸν Ἑξάψαλμον,...

Συναπτὴ μεγάλη καὶ ἡ Ἐκφώνησις

Ὅτι πρέπει σοι πᾶσα δόξα...

Ἦχος πλ. α΄.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ, α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τόν αἰῶνα τό ἔλεος αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ,β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ, γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Ἀπολυτίκια

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Ἀγρευθεὶς οὐρανόθεν πρὸς τὴν εὐσέβειαν, κατηκολούθησας χαίρων ὥσπερ ὁ Παῦλος Χριστῷ, τῶν Μαρτύρων καλλονὴ Μάρτυς Προκόπιε· ὅθεν δυνάμει τοῦ Σταυροῦ, ἀριστεύσας εὐκλεῶς, κατήσχυνας τὸν Βελίαρ· οὗ τῆς κακίας ἀτρώτους, σῶζε τοὺς πόθῳ σε γεραίροντας.

Δόξα... Ἕτερον. Ἦχος α΄.

Οὐρανόθεν τὴν κλῆσιν δεξάμενος, ὡς ὁ Παῦλος τῶν ἐθνῶν ὁ Διδάσκαλος, τῇ δυνάμει δὲ τοῦ Σταυροῦ ἐνισχυθείς, τοῦ μαρτυρίου τὸν δρόμον τετέλεκας· καὶ νῦν ἰάσεις παρέχεις παντοδαπάς, πᾶσι τοῖς πίστει προστρέχουσι. Διὸ πρέσβευε Χριστῷ τῷ Θεῷ, ἔνδοξε Προκόπιε, ἐν εὐσεβείᾳ ἡμᾶς προκόπτειν, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν... Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι, Παρθένε τὸ χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυῒδ· ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί· δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου.

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις

Καθίσματα

Μετὰ τὴν α΄ Στιχολογίαν,.

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ὡς ἄστρον τηλαυγές, ἐκ νυκτὸς ἀγνωσίας, ἐκλάμψας ἐμφανῶς, φωτισμὸν ἀληθείας, ἀστράπτεις τοῖς πέρασι, διὰ πόνων ἀθλήσεως, δι' ὧν ἄπονον, ὡς ἀληθῶς κληρουχίαν, Μάρτυς εἴληφας, παρὰ Χριστοῦ τοῦ Σωτῆρος, Προκόπιε ἔνδοξε.

Δόξα... Καὶ νῦν... Θεοτοκίον

Θεὸν ὑπερφυῶς, ἐξ ἁγνῶν σου αἱμάτων, κυήσασα Ἁγνή, τοῦ Ἀδὰμ τὴν οὐσίαν, τῆς πάλαι διέσωσας, κατακρίσεως Δέσποινα· ὅθεν ἅπαντες, ὡς σωτηρίας σε ῥίζαν, μεγαλύνομεν, καὶ προσκυνοῦμεν ἐν πίστει, τὸν ἄσπορον τόκον σου.

Μετὰ τὴν β΄Στιχολογίαν,

*Ἦχος δ'. Ταχὺ προκατάλαβε.*

Φωσφόρος ἐκλάμψας σοι, ὁ τοῦ φωτὸς χορηγός, φωστῆρά σε ἔδειξε, τῆς Ἐκκλησίας λαμπρόν, Προκὸπιε ἔνδοξε· σὺ γὰρ ἀκολουθήσας, τῷ καλέσαντι Λόγῳ, σύμφυτος ἀνεδείχθς, τῆς αὐτοῦ Βασιλείας, ἧς πρέσβευε τυχεῖν, καὶ ἡμᾶς τοὺς εὐφημοῦντάς σε.

Δόξα... Καὶ νῦν... *Θεοτοκίον*

Παστὰς θεοκόσμητος, καὶ λογικὴ κιβωτός, ὡς μόνη Πανάμωμος, καὶ καθαρὰ ἀληθῶς, ἐφάνης Θεόνυμφε· σὺ γὰρ ἐν ταῖς ἀγκάλαις, τὸν τῶν ὅλων Δεσπότην, φέρεις σωματωθέντα, ἐκ γαστρός σου ἀσπόρως· ᾧ πρέσβευε σωθῆναι, Θεοτόκε τοὺς ὑμνοῦντάς σε.

*Μετὰ τὸν Πολυέλεον,*

*Ἦχος πλ. δ'. Τὴν Σοφία καὶ Λόγον.*

Εὐσεβείας τὴν γνῶσιν καταμαθών, ἀσεβείας τὸν γνόφον ἀποβαλών, νεότητι σώματος, τὸν ἀρχέκακον δράκοντα, κατετροπώσω Μάρτυς, τοῖς ὅπλοις τῶν ἄθλων σου, καὶ τοῦ Χριστοῦ τὰ πάθη, στεῤῥῶς ἐξεικόνισας· ὅθεν ἰαμάτων, ποταμοὺς ἀναβλύζεις, βυθίζεις τοὺς δαίμονας, καὶ δροσίζεις τοὺς κράζοντας· Ἀθλοφόρε Προκόπιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα... Καὶ νῦν... *Θεοτοκίον*

Μυστηρίων ἀρρήτων περιοχή, συνδρομὴ χαρισμάτων θεαρχικῶν, ὕλη παναρμόνιος, τῆς τοῦ Λόγου σαρκώσεως, καὶ τῶν ὅλων Κτίστου, ἐξαίσιον ἄγαλμα, σὺ εἶ Παρθενομῆτορ, ἡμῶν ἡ βοήθεια· ὅθεν πολυπλόκων, σοφισμάτων τοῦ πλάνου, ἡμᾶς ἀπολύτρωσαι, καὶ κινδύνων ἀπάλλαξον, τοὺς πιστῶς σοι προστρέχοντας, πρεσβεύουσα τῷ σῷ Υἱῷ καὶ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσιν ἀξίως, τὴν δόξαν σου Ἄχραντε.

*Τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου.*

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη· ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου. *(δὶς)*

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμένοι. *(δὶς)*

Δόξα.

Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται, τῇ τριαδικῇ μονάδι ἱεροκρυφίως.

Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

*Προκείμενον. Ψαλμὸς ριγ' 113*

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται. *(δὶς)*

*Στίχ.:* Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

*Ἡ Τάξις τοῦ Εὐαγγελίου τοῦ Ὄρθρου*

*Ἦχος β'.*

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Στίχος· Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς Ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Εὐαγγέλιον
τὸ ἐν τῷ ὄρθρῳ 23ης Ἀπριλίου

Δόξα σοι, Κύριε, δόξα σοι.

Καὶ εὐθὺς
ὁ Ν΄ Ψαλμὸς χῦμα.

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος των οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντὸς.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμα σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν ἔδωκα ἂν ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον΄ καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Δόξα Πατρὶ... Ἦχος β΄

Ταῖς τοῦ Ἀθλοφόρου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν...

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Ἰδιόμελον

Ἦχος πλ. β'. Γερασίμου.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἀθλοφόρε Προκόπιε, σὺ τοῦ Σταυρωθέντος φωτισθεὶς τῇ αἴγλῃ, ἔσπευσας συσταυρωθῆναι αὐτῷ· ὅθεν ἀθλητικὸν διαδραμὼν στάδιον, νίκης τρόπαια ἤγειρας περιφανῶς ἀγωνισάμενος. Καὶ νῦν ἀμέσως Χριστὸν ἐνορῶν, μὴ παύσῃ ἐποπτεύων, τοὺς ἐκ πόθου εὐφημοῦντάς σε.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.(γ')

Ἐλέει καὶ οἰκτιρμοῖς...

## ΚΑΝΟΝΕΣ

Ὠδὴ α'. Κανὼν τῆς Θεοτόκου.

Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν, καὶ τὴν αἰγυπτίαν μοχθηρίαν διαφυγών, ὁ Ἰσραηλίτης ἀνεβόα, Τῷ Λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Πολλοῖς συνεχόμενος πειρασμοῖς, πρὸς σὲ καταφεύγω, σωτηρίαν ἐπιζητῶν, Ὢ Μῆτερ τοῦ Λόγου καὶ Παρθένε, τῶν δυσχερῶν καὶ δεινῶν με διάσωσον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Παθῶν με ταράττουσι προσβολαί, πολλῆς ἀθυμίας, ἐμπιπλῶσαί μου τὴν ψυχήν, εἰρήνευσον, Κόρη, τῇ γαλήνῃ, τῇ τοῦ Υἱοῦ καὶ Θεοῦ σου, Πανάμωμε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σωτῆρα τεκοῦσάν σε καὶ Θεόν, δυσωπῶ, Παρθένε, λυτρωθῆναί με τῶν δεινῶν, σοὶ γὰρ νῦν προσφεύγων ἀνατείνω, καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Νοσοῦντα τὸ σῶμα καὶ τὴν ψυχήν, ἐπισκοπῆς θείας, καὶ προνοίας τῆς παρὰ σοῦ, ἀξίωσον, μόνη Θεομῆτορ, ὡς ἀγαθὴ ἀγαθοῦ τε λοχεύτρια.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἐν θλίψει με ὄντα καὶ συμφορᾷ, ἐπισκοπῆς θείας, καὶ προνοίας μόνη ἁγνή, ἀξίωσον ὅπως σε δοξάζω, τὴν θεοδόξαστον καὶ ὑπεράμωμον.

Καὶ τοῦ Ἁγίου.

Κανὼν α'. Ὠδὴ α'.

Ἦχος δ'. Θαλάσσης, τὸ ἐρυθραῖον.

Στίχ. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Πλουσίαις, μαρμαρυγαῖς τοῦ Πνεύματος, περιχεόμενος, τοὺς τὴν φωσφόρον ταύτην καὶ σεπτήν, ἑορτήν σου γεραίροντας, παθῶν ἀχλύος λύτρωσαι, καὶ πειρασμῶν Μάρτυς Προκόπιε.

Στίχ. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἡ κλῆσις, οὐκ ἀπ' ἀνθρώπων γέγονεν, ἡ σὴ Προκόπιε, ἀλλ' οὐρανόθεν Παῦλον ὡς τὸ πρίν, ὁ Χριστὸς ἐσαγήνευσε, παθῶν οἰκείων Μάρτυρα, παναληθῆ σε ἐργαζόμενος.

Στίχ. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Στρατείας, τῆς ἐπικήρου πάνσοφε, τὴν αἰωνίζουσαν, ὡς νουνεχὴς ἠλλάξω καὶ θνητοῦ, βασιλέως ἀθάνατον, καὶ βασιλείαν ἄφθορον, σοὶ παρεχόμενον Προκόπιε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Τὸν φύσει, Δημιουργὸν ἐκύησας, ἡμᾶς θεώσαντα, τῇ ὑπὲρ νοῦν ἑνώσει ἀληθῶς, Θεοτόκε πανύμνητε· ὃν ἐκτενῶς ἱκέτευε, φωταγωγῆσαι τοὺς ὑμνοῦντάς σε.

Κανὼν β΄

Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Στίχ. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὑπάρχων τοῖς τρόποις πανευπρεπής, Σταυροῦ ταῖς ἀκτῖσι, κατηυγάσθης περιφανῶς, δι᾽ ὧν κἀμὲ λάμπρυνον Παμμάκαρ, ἐγκωμιάσαι τὴν θείαν σου ἄθλησιν.

Στίχ. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Μεγίστης ἐλλάμψεως μετασχών, ὡς ὁ θεῖος Παῦλος, ἐζωγρήθης παρὰ Χριστοῦ, καὶ τούτου τὰ στίγματα ὡς λίθους, πολυτελεῖς τῇ σαρκί σου ἐβάστασας.

Δόξα...

Νεκρώσας τὸ φρόνημα τὸ φθαρτόν, ἐν ἀπαρνήσει, τῆς ἀξίας τῆς γεηρᾶς, Χριστὸν τὴν ζωὴν ἡμῶν παμμάκαρ, μαρτυρικῶς ἐνεδύσω Προκόπιε.

Καὶ νῦν... Θεοτοκίον

Ὡς θρόνος Παρθένε φωτοειδής, φέρεις ἐν ἐγκάλαις, τὸν τῶν ὅλων Δημιουργόν, καὶ τρέφεις Ἁγνὴ ἐκ τῶν μαζῶν σου, τὸν διατρέφοντα πάντα χρηστότητι.

Κανὼν τῆς Θεοτόκου.

Ὠδὴ γ΄. Ἦχος πλ. δ΄. Ὁ Εἱρμός.

Οὐρανίας ἁψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ, σὺ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε φιλάνθρωπε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Προστασίαν καὶ σκέπην, ζωῆς ἐμῆς τίθημι, Σέ, Θεογεννῆτορ, Παρθένε, σὺ με κυβέρνησον, πρὸς τὸν λιμένα σου, τῶν ἀγαθῶν ἡ αἰτία, τῶν πιστῶν τὸ στήριγμα, μόνη πανύμνητε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἱκετεύω, Παρθένε, τὸν ψυχικὸν τάραχον, καὶ τῆς ἀθυμίας τὴν ζάλην, διασκεδάσαι μου, σὺ γάρ, Θεόνυμφε, τὸν ἀρχηγὸν τῆς γαλήνης, τὸν Χριστὸν ἐκύησας, μόνη πανάχραντε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Εὐεργέτην τεκοῦσα, τὸν τῶν καλῶν αἴτιον, τῆς εὐεργεσίας τὸν πλοῦτον, πᾶσιν ἀνάβλυσον, πάντα γὰρ δύνασαι, ὡς δυνατὸν ἐν Ἰσχύϊ, τὸν Χριστὸν κυήσασα, Θεομακάριστε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Χαλεπαῖς ἀῤῥωστίαις, καὶ νοσεροῖς πάθεσιν, ἐξεταζομένῳ, Παρθένε, σὺ μοι βοήθησον, τῶν Ἰαμάτων γάρ, ἀνελλιπῆ σε γινώσκω, θησαυρόν, Πανάμωμε, τὸν ἀδαπάνητον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ζωῆς τῆς ἀκηράτου θεία σκηνὴ γέγονας, μόνη ἐξ αἰῶνος φανεῖσα παρθενομῆτορ ἁγνή, διὸ πανάμωμε, τὸν ἐν σκιᾷ τοῦ θανάτου, πρὸς ζωὴν ὁδήγησον νῦν με πρεσβείαις σου.

Ὠδὴ γ΄.

Ἦχος δ΄ Οὐκ ἐν σοφίᾳ.

Στίχ. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Σταυροῦ ἐν μέσῳ, παραδόξως Χριστός σοι ὀπτάνεται, ἐκδιδάσκων ἐμφανῶς, τὴν πρὸς ἡμᾶς συγκατάβασιν, καὶ σὲ πρὸς τὴν ἄθλησιν, προσεκκαλούμενος.

Στίχ. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ναὸν καὶ στήλην, ἀνεγείρας σαυτὸν θείου Πνεύματος, ζήλου πνέων θεϊκοῦ, ναοὺς καὶ ἄψυχα ξόανα, δαιμόνων κατέαξας, Μάρτυς Προκόπιε.

Στίχ. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Συναπεβάλου, δερματίνους χιτῶνας τῷ ξέεσθαι· ἀφθαρσίας δὲ στολήν, περιεβάλου Προκόπιε, καὶ τὸν πολυμήχανον, Μάρτυς ἐγύμνωσας.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ῥῦσαί με πάσης, προσβολῆς ἐναντίας τοῦ ὄφεως, Μητροπάρθενε ἁγνή, καὶ τὴν καρδίαν μου φώτισον, πίστει σε δοξάζοντος, τὴν παναμώμητον.

Κανὼν β΄ Σὺ εἶ τὸ στερέωμα.

Στίχ. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Στήλην ἐργασάμενος, τὴν σὴν καρδίαν τοῦ Πνεύματος, τὰ πονηρά, ξόανα συντρίβεις, τῶν ἀνόμων Προκόπιε.

Στίχ. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἔφερες ὡς ἄσαρκος, τοὺς σπαραγμοὺς τοῦ σοῦ σώματος, δι' ὧν σαφῶς, τῆς παρανομίας, τὴν ἰσχὺν διεσπάραξας.

Δόξα...

Πῦρ τῆς ἀθεότητος, οἱ τῶν αἱμάτων σου ῥύακες, ὡς ἀληθῶς, ἔσβεσαν, εἰς τὸ τέλος, καὶ πιστούς κατεδρόσισαν.

Καὶ νῦν... Θεοτοκίον

Ῥάβδον σε ὠνόμασεν, ὁ Ἡσαΐας Θεόνυμφε, ἄνθος ζωῆς φέρουσαν ἀφθόρως, τὸν Δεσπότην τῆς κτίσεως.

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν,...

Κάθισμα.

Ἦχος α΄ Τὸν τάφον σου Σωτὴρ.

Τὸν Παῦλον ὡς τὸ πρίν, ὁ Χριστὸς οὐρανόθεν, Προκόπιε σοφέ, σὲ καλεῖ πρὸς τὴν πίστιν, τὸ κάλλος τὸ ἔνθεον, προειδὼς τῆς καρδίας σου· ὅθεν ἤθλησας, ἀνδρειοτάτως κηρύττων, τὰ παθήματα, καὶ τὴν αὐτοῦ πρὸς ἀνθρώπους, παμμάκαρ ἐπέλευσιν.

Δόξα... Καὶ νῦν... Θεοτοκίον.

Ἐλπὶς χριστιανῶν, Παναγία Παρθένε, ὃν ἔτεκες Θεόν, ὑπὲρ νοῦν τε καὶ λόγον, ἀπαύστως ἱκέτευε, σὺν ταῖς ἄνω Δυνάμεσι,

δοῦναι ἄφεσιν, ἁμαρτιῶν ἡμῖν πᾶσι, καὶ διόρθωσιν, βίου τοῖς πίστει καὶ πόθῳ, ἀεί σε δοξάζουσιν.

*Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις*

*Σὺ γὰρ εἶ ὁ Βασιλεύς...*

Κοντάκιον.

Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τῷ ζήλῳ Χριστοῦ, τῷ θείῳ πυρπολούμεος, καὶ ἐν τῷ Σταυρῷ, τῷ τιμίῳ φρουρούμενος, τῶν ἐχθρῶν τὸ φρύαγμα, καὶ τὰ θράση καθεῖλες Προκόπιε, καὶ τὴν σεπτὴν Ἐκκλησίαν ὕψωσας, τῇ πίστει προκόπτων, καὶ φωτίζων ἡμᾶς.

Ὁ Οἶκος.

Στόμα συνέσεώς μοι παράσχου, ὁ προάναρχος Λόγος, βουλομένῳ ὑμνεῖν, τὸν σὸν ὁπλίτην Προκόπιον· ἔχεις γὰρ πλοῦτον τῆς εὐσπλαγχνίας, ἐν ἀπείρῳ Χριστέ μου πελάγει τῶν σῶν κριμάτων· ἵνα κἀγὼ τῆς ψυχῆς τὸ ζοφῶδες καθαρθῶ, τοῦ νοῦ δὲ πᾶσαν κηλῖδα ἀποσμήξας, καὶ ναὸς ἁγιάσματος τοῖς θείοις ἔργοις γενόμενος, ἐπάξια μέλψω τῷ Μάρτυρι, ὃς τὴν σεπτὴν Ἐκκλησίαν ὕψωσε, τῇ πίστει προκόπτων, καὶ φωτίζων ἡμᾶς.

Συναξάριον.

Τῇ Η΄ τοῦ μηνός Ἰουλίου, μνήμη τοῦ Ἁγίου Μεγαλομάρτυρος Προκοπίου.

Στίχοι

Ἔοικε Προκόπιος, αὐχένα κλίνων,

Λέγειν· Κοπείτω· τῇ πλάνῃ γὰρ οὐ θύω.

Ὀγδοάτῃ Προκοπίου ἀρηιθόου κράτα κέρσαν.

Τῇ αὐτῇ ἡμέρα, ἡ Ἁγία Θεοδοσία, ἡ μήτηρ τοῦ ἁγίου Προκοπίου, ξίφει τελειοῦται.

Τῇ αὐτῇ ἡμέρα, αἱ Ἅγιαι Δώδεκα γυναῖκες αἱ Συγκλητικαί, ξίφει τελειοῦνται.

Τῇ αὐτῇ ἡμέρα, οἱ Ἅγιοι Μάρτυρες Ἀντίοχος, Νικόστρατος, Ἀβδᾶς καὶ Σάββας, ξίφει τελειοῦνται.

Τῇ αὐτῇ ἡμέρα, ὁ Ὅσιος Θεόφιλος, ὁ κατὰ τὸ Ἅγιον Ὄρος τοῦ Ἄθω ἀσκήσας, ἐν εἰρήνῃ τελειοῦται.

Τῇ αὐτῇ ἡμέρα, Μνήμη τοῦ Ἁγίου Προκοπίου τοῦ ἐφορκιστοῦ, τοῦ ἐν Καισαρείᾳ τῆς Παλαιστίνης.

Τῇ αὐτῇ ἡμέρα, Μνήμη τοῦ Ἁγίου Προκοπίου τοῦ διά Χριστόν σαλοῦ, τοῦ Ρώσου.

Τῇ αὐτῇ ἡμέρα, ὁ Ἅγιος Νέος Ἱερομάρτυς Ἀναστάσιος, ὁ Γουναρᾶς, ὁ ἐξ Ἁγίου Βλασίου Ἡγουμενίτσης, ὁ ἐν Κωνσταντινουπόλει μαρτυρήσας ἐν ἔτει 1743, ξίφει τελειοῦται.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

ΚΑΤΑΒΑΣΙΑΙ

*Ἀνοίξω τὸ στόμα μου...*

*Ὠδὴ α΄. Ἦχος δ΄.*

Ἀνοίξω τὸ στόμα μου καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ Βασιλίδι Μητρί, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα.

*ᾠδὴ γ΄*

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθορος πηγή, θίασον συγκροτήσαντας πνευματικὸν στερέωσον, καὶ ἐν τῇ θείᾳ δόξῃ σου στεφάνων δόξης ἀξίωσον.

ᾠδὴ δ'

Τὴν ἀνεξιχνίαστον θείαν βουλήν, τῆς ἐκ τῆς Παρθένου σαρκώσεως, σοῦ τοῦ Ὑψίστου, ὁ Προφήτης, Ἀββακούμ, κατανοῶν ἐκραύγαζε. Δόξα τῇ δυνάμει σου Κύριε.

ᾠδὴ ε'

Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου, σὺ γὰρ ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύοντα.

ᾠδὴ ϛ'

Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάζοντες.

ᾠδὴ ζ'

Οὐκ ἐλάτρευσαν, τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν κτίσαντα, ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον, Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

ᾠδὴ η'

Στίχ. Αἰνοῦμεν, εὐλογοῦμεν, καί προσκυνοῦμεν τὸν Κύριον.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν, ἀγείρει ψάλλουσαν. Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς...

ΤΙΜΙΩΤΕΡΑ

(Ἦχος δ')

Στίχ. Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Τὴν Τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Τὴν Τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Τὴν Τιμιωτέραν...

Στίχ. Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Τὴν Τιμιωτέραν...

Στίχ. Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλεν κενούς.

Τὴν Τιμιωτέραν...

Στίχ. Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Τὴν Τιμιωτέραν...

Καταβασία. Ὠδὴ θ΄.

Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι, λαμπαδουχούμενος, πανηγυριζέτω δέ, ἀΰλων Νόων, φύσις γεραίρουσα, τὰ ἱερὰ θαυμάσια, τῆς Θεομήτορος, καὶ βοάτω. Χαίροις παμμακάριστε, Θεοτόκε ἁγνή, ἀειπάρθενε.

Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

Ἐξαποστειλάριον

Ἦχος γ΄. Φῶς ἀναλλοίωτον Λόγε.

Ἐξ οὐρανοῦ ὡς τῷ Παύλῳ, ἐγένετό σοι ἡ κλῆσις· ᾗ φερωνύμως προκόπτων, Προκόπιε τῷ Κυρίῳ, χοροὺς προσῆξας Μαρτύρων· μεθ' ὧν πρεσβεύεις, ὑπὲρ τῶν σὲ εὐφημούντων.

Θεοτοκίον.

Σοῦ τὸ πολίτευμα Λόγε, κραταίωσον ἐν πολέμοις, τοῖς βασιλεῦσι τὸ νῖκος, κατὰ βαρβάρων παρέχων, τῆς Θεοτόκου πρεσβείαις, ἣν ἐδωρήσω, χριστιανοῖς προστασίαν.

ΑΙΝΟΙ . Ἦχος πλ. δ΄.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Στιχηρὰ Προσόμοια Ἦχος πλ. δ΄.

Ὢ τοῦ παραδόξου θαύματος.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Ὢ τοῦ παραδόξου θαύματος! ἐξ ἀγνωσίας βυθοῦ, ὥσπερ λίθον πολύτιμον, καὶ λαμπρὸν ἀδάμαντα, σαγηνεύσας ἀνείλκυσεν, ὁ φῶς ἐξάγων ἐκ σκότους Κύριος, τὸν φερωνύμως μέγαν Προκόπιον· ὢ τῆς ἀρρήτου σου προμηθείας Δέσποτα! δι' ἧς Χριστέ, σώζεις ὡς ἐπίστασαι, τοὺς προσιόντας σοι.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Ὢ τοῦ παραδόξου θαύματος! ἐν τῇ τοῦ βίου νυκτί, ὁ θεόφρων Προκόπιος, διατρέχων εὕρατο, ὥσπερ ἥλιον ἄδυτον, ὅν ἐκδιώκειν Λόγον πεπείραται, ὑφ' οὗ ηὐγάσθη καὶ φῶς γεγένηται· ὢ ἧς ἠξίωσαι, κλήσεως πανεύφημε! δι' ἧς Χριστῷ καθωράθης σύμμορφος, ἀθλήσας ἄριστα.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Μάρτυς Ἀθλητὰ Προκόπιε, τὴν πανοπλίαν Χριστοῦ, ἱερῶς ἐνδυσάμενος, ἰσχυρῶς ἐχώρησας, πρὸς ἀγῶνας καὶ σκάμματα, καὶ ἀριστεύσας καθάπερ ἄσαρκος, τῶν ἀσωμάτων ὤφθης συνόμιλος· μεθ' ὧν τὴν ἄφραστον, χαρμονὴν κληρούμενος, ἁμαρτιῶν, ζόφου ἐλευθέρωσον, τοὺς προσιόντας σοι.

*Στίχ.* Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Μάρτυς Ἀθλητὰ Προκόπιε, προκόπτων ὤφθης ἀεί, τοῖς σεπτοῖς κατορθὼμασιν, εὐσεβείας ἔρωτι, καὶ μυχῆς γενναιότητι· ὅθεν εἰς μέτρον ἔφθασας ἔνθεον, τῆς ἡλικίας τῆς ἄνω λήξεως, ἧς τῆς φαιδρότητος, ἀπολαύων ἄληκτα ὑπὲρ ἡμῶν, πρέσβευε δεόμεθα, τῶν εὐφημούντων σε.

Δόξα...

*Ἦχος πλ. δ΄. Ἀνατολίου.*

Ὥσπερ ὁ Παῦλος τὴν κλῆσιν, ἐκ τοῦ Θεοῦ δεξάμενος, Μάρτυς Προκόπιε, καὶ προκόπτων ἐν Θεῷ, τῇ τοῦ Σταυροῦ πεποιθήσει, τῶν τυράννων τὸ δυσσεβές, καὶ τῶν βασάνων τὸ ἀπηνές, ἀνδρείως κατῄσχυνας. Διὸ καὶ μέχρις αἵματος, ἀντικατέστης πρὸς τὴν ἁμαρτίαν, πρὸς ἀοράτους ἐχθροὺς ἀνταγωνισάμενος, καὶ πρεσβεύεις ἀπαύστως, τῷ λυτρωτῇ καὶ Θεῷ, δωρηθῆναι τῇ οἰκουμένῃ εἰρήνην, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν...

*Ἦχος πλ. δ΄ Θεοτοκίον*

Τὰ οὐράνια ὑμνεῖ σε Κεχαριτωμένη Μῆτερ Ἀνύμφευτε, καὶ ἡμεῖς δοξολογοῦμεν, τὴν ἀνεξιχνίαστόν σου γέννησιν. Θεοτόκε πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*καὶ εὐθὺς*

*τὸ ἀπολυτίκιον*

*Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Ἀγρευθεὶς οὐρανόθεν πρὸς τὴν εὐσέβειαν, κατηκολούθησας χαίρων ὥσπερ ὁ Παῦλος Χριστῷ, τῶν Μαρτύρων καλλονὴ Μάρτυς Προκόπιε· ὅθεν δυνάμει τοῦ Σταυροῦ, ἀριστεύσας εὐκλεῶς, κατῄσχυνας τὸν Βελίαρ· οὗ τῆς κακίας ἀτρώτους, σῷζε τοὺς πόθῳ σε γεραίροντας.

*Δοξολογία Μεγάλη.*

*Ἦχος γ΄*

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα΄ Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός,

Ἅγιος Ἰσχυρός,

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

*καὶ εὐθὺς τὸ ἀπολυτίκιον*

*Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Ἀγρευθεὶς οὐρανόθεν πρὸς τὴν εὐσέβειαν, κατηκολούθησας χαίρων ὥσπερ ὁ Παῦλος Χριστῷ, τῶν Μαρτύρων καλλονὴ Μάρτυς Προκόπιε· ὅθεν δυνάμει τοῦ Σταυροῦ, ἀριστεύσας εὐκλεῶς, κατῄσχυνας τὸν Βελίαρ· οὗ τῆς κακίας ἀτρώτους, σῷζε τοὺς πόθῳ σε γεραίροντας.

## ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

*Ἀντίφωνον Α΄*

*Ἦχος β΄.*

Στίχ. Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

Στίχ. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Δόξα Πατρί...Καὶ νῦν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

*Ἀντίφωνον Β΄. Ἦχος β΄.*

Στίχ. Αἴνει, ἡ ψυχή μου τὸν Κύριον, αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχ. Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχ. Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς·

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχ.. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν.

Σῶσον, ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Δόξα Πατρὶ... Καὶ νῦν...

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος, διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρω-θείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, Εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Ἀντίφωνον γ᾽

Στίχ.: Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος, πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς.

Ἀπολυτίκιον

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Ἀγρευθεὶς οὐρανόθεν πρὸς τὴν εὐσέβειαν, κατηκολούθησας χαίρων ὥσπερ ὁ Παῦλος Χριστῷ, τῶν Μαρτύρων καλλονὴ Μάρτυς Προκόπιε· ὅθεν δυνάμει τοῦ Σταυροῦ, ἀριστεύσας εὐκλεῶς, κατῄσχυνας τὸν Βελίαρ· οὗ τῆς κακίας ἀτρώτους, σῶζε τοὺς πόθῳ σε γεραίροντας.

Μικρὰ Εἴσοδος.

Εἰσοδικὸν

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστός,, ( ὁ β΄ χορός) ψάλλοντάς σοι, Ἀλληλούϊα.

Ἀπολυτίκιον.

Ἀπολυτίκιον

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Ἀγρευθεὶς οὐρανόθεν πρὸς τὴν εὐσέβειαν, κατηκολούθησας χαίρων ὥσπερ ὁ Παῦλος Χριστῷ, τῶν Μαρτύρων καλλονὴ Μάρτυς Προκόπιε· ὅθεν δυνάμει τοῦ Σταυροῦ, ἀριστεύσας εὐκλεῶς, κατῄσχυνας τὸν Βελίαρ· οὗ τῆς κακίας ἀτρώτους, σῶζε τοὺς πόθῳ σε γεραίροντας.

Ἕτερον. Ἦχος α΄.

Οὐρανόθεν τὴν κλῆσιν δεξάμενος, ὡς ὁ Παῦλος τῶν ἐθνῶν ὁ Διδάσκαλος, τῇ δυνάμει δὲ τοῦ Σταυροῦ ἐνισχυθείς, τοῦ μαρτυρίου τὸν δρόμον τετέλεκας· καὶ νῦν ἰάσεις παρὲχεις παντοδαπάς, πᾶσι τοῖς πίστει προστρέχουσι. Διὸ πρέσβευε Χριστῷ τῷ Θεῷ, ἔνδοξε Προκόπιε, ἐν εὐσεβείᾳ ἡμᾶς προκόπτειν, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον τοῦ Ναοῦ

Κοντάκιον Ἦχος πλ. β΄

Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, Μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι. Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.

Τρισάγιον Ἀποστόλου

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. γ΄

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δύναμις.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Προκείμενον. Ἦχος δ΄

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ. (Δίς).

Στίχ. Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Πρὸς Ἐφεσίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα (ϛ᾽10-17)

Ἀδελφοί, ἐνδυναμοῦσθε ἐν Κυρίῳ καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ. Ἐνδύσασθε τὴν πανοπλίαν τοῦ Θεοῦ πρὸς τὸ δύνασθαι ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου· ὅτι οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις. Διὰ τοῦτο ἀναλάβετε τὴν πανοπλίαν τοῦ Θεοῦ, ἵνα δυνηθῆτε ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ καὶ ἅπαντα κατεργασάμενοι στῆναι. Στῆτε οὖν περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ, καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης, καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης, ἐν πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι· καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθε, καὶ τὴν μάχαιραν τοῦ Πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ.

Ἀλληλούϊα. Ἦχος β΄

Ἐπακούσαι σου Κύριος ἐν ἡμέρᾳ θλίψεως, ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ Θεοῦ Ἰακώβ.

Στίχ. Κύριε, σῶσον τον Βασιλέα καὶ ἐπάκουσον ἡμῶν ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε.

Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Ἱεροῦ Χρυσοστόμου

Εἰς τό Ἐξαιρέτως

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ

μεγαλύνομεν.

Κοινωνικὸν

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

ἦχος β᾽

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες, αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Πληρωθήτω τό στόμα ἡμῶν αἰνέσεως Κύριε, ὅπως ἂν ὑμνήσωμεν τήν δόξαν σου, ὅτι ἠξίωσας ἡμᾶς τῶν ἁγίων σου μετασχεῖν μυστηρίων. Τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ ὅλην τήν ἡμέραν μελετῶντας τὴν δικαιοσύνην σου. Ἀλληλουΐα.

ἦχος β΄

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπό τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (τρὶς)

Ἀπόλυσις

Ἡ Μεταφορὰ Κειμένων
Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη
στὸν Ι.Ν. Ἁγίου Γεωργίου
Κουλούρας Βέροιας.